# 07 NOIEMBRIE

# PARACLISUL SF.MUCENITE TESALONICA DE LA AMFIPOLE-MACEDONIA

## PARACLISIER-GR


Η ΑΓΙΑ
ΘΕCCΑΛΟ
ΝΙΚΗ

# 07 ΝΟΕΜΒΡΙΟΣ ΘΕΣΣΑΛΟΝΙΚΗ ΜΑΡΤΥΣ ΠΑΡΑΚΛΗΣΙΣ

*(Γεωργίου Γαλανόπουλου·*
*π. Νεκτάριος Μαμακοῦγκος)*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι᾽ εὐχῶν τῶν Ἀγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*
Θεσσαλονίκης τὴν πανένδοξον μνήμην, ἐπιτελέσμωνε πιστοὶ θεοφρόνως, καὶ τοῖς ᾀσμάτων ἄνθεσι κοσμήσωμεν λαμπρῶς, ταύτης τὸ ἐκτύπωμα, ἀσπαζόμενοι πάντες, ἐκ ψυχῆς κραυγάζοντες· Ἀθληφόρε Κυρίου, μὴ διαλλίπῃς σκέπειν τοὺς πιστούς, τοὺς εὐφημοῦντας, τὴν θείαν σου ἄθλησιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Θεσσαλονίκη, πρόσδεξαι ᾆσμα. Γεωργίου.*

## *ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Θεὸν ἀγαπήσασα ἀληθῆ, ἔδραμες τῷ πόθῳ, τετρωμένῃ κόρη σεμνή, Αὐτῷ ἑπομένη καὶ βοῶσα· ἐλέησόν με Χριστὲ πολυεύσπλαγχνε.

Εἰδώλων θυσίας τὰς μυσαράς, πατρὸς ἱερέως ἐβδελύξω, ὡς νουνεχής· διὸ βαπτισθεῖσα κορασίδας, εἰς θείαν πίστιν Χριστοῦ, σὺ προσείλκυσας.

Στρατείᾳ προσῆλθες τοῦ Ἰησοῦ, ψυχὰς ὠφελῆσαι, καλλιπάρθενε καὶ σαύτήν· διὸ πᾶσι δὸς σὸν θεῖον πόθος, ὅπως ἐχθοῦ τὰς παγίδας ἐκφεύγωμεν.

*Θεοτοκίον.*

Σὺ ἄχραντε σκέπε ἐξ ἐχθρικῶν, βελῶν ἡμᾶς πάντας, ἡ τεκοῦσα τὸν Λυτρωτήν, καὶ φρούρει ἀτρώτους ἐπηρείας, δαιμονικῆς τοὺς ἀπαύστως Σὲ μέλποντας.

## *ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀλγηδόνας σωμάτων καὶ ψυχικὰ τραύματα, ἴασαι ἡμῶν Ἀθληφόρε, χάριν ὡς βάλσαμον, ἐκ τῆς σεπτῆς σου μορφῆς, ἀεὶ βλυστάνουσαν θείαν, ὅτι ταύτην εἴληφας, ὡς καλλιπάρθενος.

Λαμπρυνθεῖσα ἐνθέως μαθητικοῖς ῥήμασιν, ἐν τῇ Ἀμφιπόλει θεόφρον, πατρῷαν ᾔσχυνας, εἰδώλων πλάνην ψευδῆν· ὅθεν τροφῇ τῶν σῶν λόγων, τοὺς σὲ μεγαλύνοντας, θρέψον καὶ ζώωσον.

Ὁσιότητι βίου πανευλαβοῦς ἤστραψας, πᾶσι θεῖον φέγγος διδοῦσα, καὶ ὡμολόγησας, βασανισθεῖσα δαρμοῖς, Θεσσαλονίκη σὴν πίστιν· ὅθεν Μάρτυς εὔσθενον, σὸν ἡμῖν δώρησαι.

*Θεοτοκίον.*

Ναυαγοὶ ἐσμὲν πάντες Κόρη καὶ Σοὶ τρέχομεν, τὴν Λόγον Θεοῦ συλλαβοῦσαν, ὁμολογοῦντάς Σε, ὡς Θεοτόκον ἁγνήν, τέξασαν Τοῦτον ἐν χρόνῳ, μνήσθητι τῆς κρίσεως, ὥρᾳ κραυγάζοντες.

Ἐκρὀῤύσασθε, πάσης ἀνάγκης καὶ βλάβς, Θεσσαλονίκη μετὰ συνάθλων, τοὺς τὴν ὑμῶν μνήμην γεραίροντας, ὡς παῤῥησίαν Θεῷ κεκτημένοι.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Φρουροὺς ἀσφαλεῖς, μεσίτας πρὸς τὸν εὔσπλαγχνον, πτωχῶν βοηθούς, ἁπάντων δ' ἀντιλήπτορας, ἀεὶ ὑμᾶς ἔχομεν, ὦ θεῖοι Μάρτυρες κραυγάζοντες· σπεύσατε καὶ ῥύσασθε, ἐκ δεινῶν καὶ βλάβης πάντας, τοὺς πίστει μέλποντας.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἰσχυρὰν δὸς παράκλησιν, τῷ Χριστῷ ὑπὲρ τῶν πιστῶς τιμώντων σου, τοὺς σοὺς ἄθλους καλλιπάρθενε, ὡς ἀπειληφυῖα πλοῦτον χάριτος.
Κηδεμόνι οὐκ ἔστερξας, σῷ Πατρὶ Χριστὸν κορασὶς ἀρνήσασθαι· διὸ πάνδεινα ὑπήνεγκας, ἐν δ' ὑπερορίᾳ ζῆν ἀπέλιπες.

Ἡλικίαν νεάνιδος, ἔχουσα σεμνὴ τῷ Χριστῷ προσέδραμες, μέγα ὄνομα κηρύξασα· ὅθεν ἡμῖν δὸς σὸν θεῖον ἔρωτα.

*Θεοτοκίον.*

Πάθη κοίμησον ἄχραντε, ταῖς πρὸς τὸν Υἱόν Σου θερμαῖς δεήσεσιν, ὅτι πάντες ἁμαρτάνομεν, Τούτῳ μητρικῶς ἀεὶ πρεσβεύουσα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ῥῶσιν εὐσθενῆ, καὶ ὑγείαν νέμε ἅπασι, βοηθὸς δὲ γενοῦ βίου δυσχεροῦς, τῶν σὲ ὑμνούντων, Θεσσαλονίκη πολύαθλε.

Ὄρεξον ἡμῖν, τρυφῆς θείαν τὴν ἀπόλαυσιν, ταῖς εὐπροσδέκτοις σου πρὸς Χριστὸν λιταῖς, Θεσσαλονίκη, καὶ θλίψεις δεινὰς ἀπέλασον.

Σὺ τὸν δυσσεβῆ, ὄφιν ᾔσχυνας πανεύφημε, τὸν καθ’ ἡμῶν κινούμενον δολερῶς· διὸ τὰ βέλη, ισχύϊ τῇ σῇ ἀπόστρεψον.

*Θεοτοκίον.*

Δέσποινα, φωνὰς τῶν Σῶν δούλων, νῦν ἐπάκουσον σῶσον εξ ᾄδου, οὓς ἔπλασεν Υἱὸς ἐνανθρωπήσας, ἐκ Σοῦ καὶ Σταυρὸν δεξάμενος.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἐπίχαρμα, ἐγενόμην ἄκοσμον, τῶν δαιμόνων δουλωθεὶς ἁμαρτίας, ἀλλὰ Χριστέ, ταῖς λιταῖς Σῶν Μαρτύρων, καὶ Ἀθλοφόρων λαμπρῶν ἐμὲ πρόσδεξαι,

ἐν μετανοίας λογισμῷ, πρὸς σὲ ἥκοντα πάλιν φιλάνθρωπε.
Ξενήκουστα, τὰ ἐν σοὶ ἐπέγνωμεν· διὸ ᾄσμασι τερπνοῖς σὲ τιμῶμεν, πανευκλεές, τοῦ Χριστοῦ Ἀθληφόρε, τὴν βαπτισθεῖσαν, καὶ Παύλου τοῖς φθέγμασι, συνεπομένην ἀληθῶς, μαρτυρίῳ λιποῦσα τὰ πρόσκαιρα.
Ἀχρεῖος ὤν, ἀνεδείχθην παίγνιον, τοῦ σατᾶν ἐν ἡδοναῖς βιοτεύων, ὅτι κακῶν, ἡ ψυχή μου ἐτρώθη, καὶ ὡς ἀμνὸν πλανηθέντα με ἥρπασεν, ἀλλὰ πρὸ τέλους ἐκβοῶ· Σῆς Ἁγίας εὐχαῖς Σῶτερ σῶσόν με.

*Θεοτοκίον.*

Ἱκέτευε, ὦ Θεόπαις Τόκον Σου, ἡ ἐκ στείρας προελθοῦσα τῆς Ἄννης, Σὺ γὰρ τροφός, γλυκασμὸς καὶ ἀγάπη, ἡμῶν ὑπάρχεις ἐλπὶς καὶ μεσίτρια, ἀεὶ δ’ ὑμνοῦμέν Σου πιστῶς, μεγαλεῖα καὶ πρόνοιαν ἄφατον.

Ἐκρῤῥύσασθε, πάσης ἀνάγκης καὶ βλάβς, Θεσσαλονίκη μετὰ συνάθλων, τοὺς τὴν ὑμῶν μνήμην γεραίροντας, ὡς παῤῥησίαν Θεῷ κεκτημένοι.
Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ἀντιλήπτορες πέλετε πάντων ἀοίδιμοι, ἡμῶν πρέσβεις θερμοὶ πρὸς Θεὸν τὸν φιλάνθρωπον, σὺν συνάθλοις

Θεσσαλονίκη παρθένε εὐπρεπής· διὸ σπεύσατε ὡς ἀρωγοί, εἰς τὴν βοήθειαν ταχύ, τῶν ὑμῖν πόθῳ βοώντων· ἐκθρέψατε πεινῶντας, λυτρώσασθε δαιμονῶντας, λαὸν τηροῦντες ἀβλαβῆ, ἐκ κακώσεων καὶ θλίψεων.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου*
Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*
*Εὐαγγέλιον.*
Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
Μὴ οὖν ἀποῤῥίψητε, σαρκὸς τὸν μεμολυσμένον, καὶ παθῶν τὸν ἄστατον, εἰς ὑμᾶς προσφεύγοντα θεῖοι Μάρτυρες, Ἅγιοι σώσατε, πιστῶς προσπίπτοντα, τῇ μορφῇ
ἡμῶν ἀσπάσασθαι, ἴασιν τάχιστα ἄμφω δότε καὶ δεινῶν ῥύσασθε, θλίψεων ἐξαιρούμενον, καὶ τῶν δυσμενῶν συμφορῶν τοῦ βίου, ἵνα μεγαλύνω, τὴν πίστιν ἀρετὰς καὶ θαυμαστά, ᾀξιϋμνητοι, ἄθλους καὶ μνημόσυνον.

### *ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀνυμνοῦσι τὰ πλήθη φιλεόρτων σὴν μνήμην Θεσσαλονίκη σεμνή, μετὰ λαμπρῶν συνάθλων, Ταυρίωνος καὶ Αὔκτου, καὶ αἰτοῦσι παράκλησιν, ἵνα δῷ κρείττω Θεός, ἡμῖν τοῖς ἑπταικόσι.
Συμφώνως ἡ χορεία ἀγάλλεται Μαρτύρων αὐλιζομένη σκηναῖς, Χριστοῦ τοῦ ζωοδότου, Αὐτὸν ἐκδυσωποῦσα, μετὰ σοῦ σῶσαι ἅπαντας, Θεσσαλονίκη Θεόν, ἀεὶ δοξολογοῦντας.
Μιμήσασθε τοὺς πόνους, ὑμῶν ὦ θεῖα ἄνθη τῆς εὐωδίας Χριστοῦ, δότε παρακαλοῦμεν, ὅπως μετ' Ἀποστόλων, ἱκετεύητε πάντοτε, Θεὸν τοῦ δοῦναι ἡμῖν, ψυχῆς τὴν σωτηρίαν.

*Θεοτοκίον.*

Ἁγνὴ ὡς ἐν Σιναίῳ τῷ ὄρει καθορῶμεν Βάτον Σε ὅπως Μωσῆς, προεῖδεν ὁ θεόπτης, φλογὶ παραδοθεῖσαν, ἀλλὰ ἄφλεκτον μείνασαν· ὅθεν τὴν φλόγα παθῶν, ἡμῶν σβέσον Παρθένε.

### *ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Γάννυται πᾶσα, Ἑλλὰς ἐν σοὶ Ἀθληφόρε, καὶ βοᾷ Χριστῷ ἐγκαυχωμένη· σῶσον ἡμᾶς Σῶτερ, εὐχαῖς Θεσσαλονίκης.
Ἐλέους θείου, καὶ δωρεῶν ἡμᾶς πάντας, ταπεινῶς φρονεῖν ἔμπλησον Μάρτυς, ἵνα σὲ τιμῶεν, ὡς πρέσβυν πρὸς Σωτῆρα.

Ὤφθης πολλάκις, σκέπη στεῤῥὰ θεία Μάρτυς, ἡ Χριστοῦ κηρύξασα τὴν πίστιν· ὅθεν ἡμᾶς σκέπε, ἐκ πάντων τῶν κινδύνων.

*Θεοτοκίον.*

Ῥῦσαι γεέννης, τῶν οὐρανῶν πλατυτέρα, καὶ βροτῶν ἁγνὴ ἁγιωτέρα, πάντας τοὺς ὑμνοῦντας, τὴν Σὴν κηδεμονίαν.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Γαλήνιον παράσχου, βίον Ἀθληφόρε, μετὰ συνάθλων ἡμῖν τε καὶ δούλοις Χριστοῦ, καὶ ἐξελέσθε τῆς βλάβης, πάσης αἱρέσεως.

Ἱλάσθητί μοι Σῶτερ, τὸν ἐν ἁμαρτίαις, καὶ ἡδοναῖς κυλινδούμενον ὅλον λιταῖς, τῶν εὐκλεῶν σου Μαρτύρων, ὧν μνήμην μέλπομεν.

Ὀρδὰς δὸς κακοδόξων, Θεσσαλονίκη φεύγειν, ἡμᾶς τὰς ἀπειλοῦσας δουλοῦσθαι οἰκτρῶς, καὶ ἔσο πρόμαχος πάντων, τῶν ἀνυμνούντων σε.

*Θεοτοκίον.*

Ὑψίστου χρυσοῦς Θρόνος, πέλεις Σὺ ἐν πόλῳ· διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῶς Θεοτόκον, ὁμολογοῦντάς Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν

ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Χαίρει νῦν Ἀμφίπολις ἐφ’ ὑμᾶς, ὢ Θεσσαλονίκη, τοῦ Δεσπότου ἀμνὰς καλή, Αὖκτε καὶ Ταυρίων, γενναῖοι Ἀθλοφόροι, ὅτι βαφαῖς αἱμάτων, ταύτην ἠρδεύσατε.

Νόσους ἀπελάσατε λοιμικάς, ἀφ’ ἡμῶν καὶ πάθη, Ἀθλοφόροι πανευκλεῖς, Αὖκτε καὶ Ταυρίων, σὺν τῇ Θεσσαλονίκῃ, τῶν θλίψεων δὲ νέφη, τάχει μακρύνατε.

Ὢ Θεσσαλονίκη θεοσεβῆ, μετὰ τῶν συνάθλων, Ἀμφιπόλεως οἱ βλαστοί, είς ἡμῶν πρεσβείαν, Χριστὸν ἐκδυσωποῦσαι, ταχὺ ἔλθετε πάντες, ὡς Χριστοκήρυκες.

Δότε ἡμῖν κρείττω ὑμῶν λιταῖς, θεῖοι Ἀθλοφόροι, τὴν Μητρόπολιν δὲ Ζιχνῶν, καὶ Νευροκοπίου, φρουρεῖτε ἀενάως, ὅτι ἐν Ἀμφιπόλει, ἐτελειώθητε.

Ὥσπερ Νινευΐτας πάλαι Θεέ, ἔσωσας όργήν σου, καταπαύσας τὴν θεϊκήν, τούτους μεταγνῶντας, κάμᾶς σῶσον οίκτίρμον, ἐνθέρμοις ἱκεσίαις, τῶν Ἀθλοφόρων σου.

Θραῦσον τὰ φρυάγματα τῶν Ἐθνῶν, ὢ Θεσσαλονίκη, καλλιπάρθενε τοῦ Χριστοῦ, ἡ ἐν ἐξορίᾳ, λιποῦσα ζῆν ἀνδρείως, ἐπεὶ ὁμολογίαν, πίστεως ἔδωκας.

Μνήσθητι ἁπάντων πρὸς τὸν Κριτήν, Υἱόν Σου ἐν δίκῃ, ὢ Μητρόθεε Μαριάμ, σὺν Ἀμφιπολίταις, ἐνδόξοις Ἀθλοφόροις, μερίδος σωζομένων, συναριθμήσασθαι.

Σῶτερ Σὺ εἶ Κτίστης Δημιουργός, σύμπαντος καὶ γένους, θείῳ λόγῳ Σου καὶ χερσίν, ὁ ἐνανθρωπήσας, σῶσαι λῃστὰς καὶ πόρνας· διὸ ἡμᾶς πρεσβείαις, σῶσον Μαρτύρων Σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τὴν*

*Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Πέλετε, πιστῶν οἱ ὁδηγοί, τείχη ὀχυρὰ ὑμεῖς θεῖοι, Ἀμφιπολῖται στεῤῥοί, Αὖκτε γενναιώτατε, Ταυρίων θεοσεβές, ἀπελέγξαντες δήμιον, τῆς Θεσσαλονίκης, τὸν ὠμὸν καὶ ἄσπλαχνον, διὰ τὸ τούτου σκληρόν· ὅθεν, δότε πᾶσι τὰ κρείττω, σῴζοντες ἐκ νόσων παντοίων, καὶ δεινῶν τοὺς μνήμην ὑμῶν μέλποντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*